Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: rdk-aa

*Αἴλιος Μοίρης ὁ Ἀττικιστής* · Aelius Moeris the Atticist

# Attic Lexicon

## *Ἀττικὸν Λεξικόν*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Ἀττικίζουσα τεχνική* Atticizing Technical
**Domain:** *Γραμματική* Grammar
**Format:** *Πραγματεία* Treatise

187 Ἄγαμαι Ὑπερβόλου Ἀττικοί, ἄγαμαι Ὑπέρβολον Ἕλληνες. ἀὴρ βαθεῖα Ἀττικοί, ἀὴρ βαθύς Ἕλληνες. ἀνέστησαν πᾶς ὁ δῆμος Ἀττικοί, ἀνέστη πᾶς ὁ δῆμος Ἕλληνες. ἀθανάτω ἀγήρω Ἀττικοί, ἀθάνατοι ἀγήρατοι Ἕλληνες. ἀναβῆναι τὴν γυναῖκα βούλομαι Ἀττικοί, ἀναβῆναι ἐπὶ τὴν γυναῖκα Ἕλληνες. αἴτιαι ὡς ὅσιαι Ἀττικοὶ βαρυτόνως, αἰτίαι ὡς εὐδίαι Ἕλληνες παροξυτόνως. ἄνθην Ἀττικοί, ἄνθησιν Ἕλληνες. ἅθυρμα δασέως Ἀττικοί, ψιλῶς Ἕλληνες. ἀμφορέα ἁλιέα μακρῶς Ἀττικοί, βραχέως Ἕλληνες. ἀγυιᾶ μακρῶς τὴν ἐπὶ τέλους Ἀττικοί, ἀγυιά Ἕλληνες. ἀντίγραφα πληθυντικῶς Ἀττικοί, ἀντίγραφον ἑνικῶς Ἕλληνες. ἀμυγδάλας θηλυκῶς Ἀττικοί, ἀμύγδαλα οὐδετέρως Ἕλληνες. ἀρχαιρεσίας θηλυκῶς Ἀττικοί, ὡς Δημοσθένης Φιλιππικοῖς, ἀρχαιρέσια οὐδετέρως Ἕλληνες. ἄσβολος Ἀττικοί, ἀσβόλη Ἕλληνες. ἄλλοθι ἄλλοθεν ἄλλοσε Ἀττικοί, ἀλλαχόθι ἀλλαχόθεν ἀλλαχόσε καινότερον Ἀττικοὶ καὶ Ἕλληνες. ἀπέδομεν ἀπέδοτε ἀπέδοσαν Ἀττικοί, ἀπεδώκαμεν ἀπεδώκατε ἀπέδωκαν Ἕλληνες. ἀπολλύς Ἀττικοί, ἀπολλύων Ἕλληνες. ἄνοργοι Ἀττικοί, ἀνόργητοι Ἕλληνες. ἀλλᾶς Ἀττικοί, ἀλλάντιον Ἕλληνες. αὔξην Ἀττικοί, αὔξησιν Ἕλληνες. ἀπαλλάξονται Ἀττικοί, ἀπαλλαγήσονται Ἕλληνες. ἀπηλάθη Ἀττικοί, ἀπηλάσθη Ἕλληνες. ἀπαλλαξείοντες Ἀττικοί, ἀπαλλακτικῶς ἔχοντες Ἕλληνες.

188 ἀγόντων ᾀδόντων Ἀττικοί, ἀγέτωσαν ᾀδέτωσαν Ἕλληνες. ἀκροᾷ Ἀττικοί, ἀκροᾶσαι Ἕλληνες. ἄπεισιν Ἀττικοί, ἀπελεύσεται Ἕλληνες. ἁλεῖς Ἀττικοί, ἁλέσεις Ἕλληνες. ἀετόν Ἀττικοί, αἰετόν Ἕλληνες. ἀνίστω Ἀττικοί, ἀνίστασο Ἕλληνες. ἄθρους Ἀττικοί, ἀθρόους Ἕλληνες. ἀνακοινῶσαι Ἀττικοί, ὡς Θουκυδίδης “ἀνακοίνωσον τοῖς φίλοις,” ἀνακοινώσασθαι Ἕλληνες. ἄφυκτον Ἀττικοί, ἄφευκτον Ἕλληνες. ἀχθέσεται Ἀττικοί, ἀχθεσθήσεται Ἕλληνες. ἀπελαθείς Ἀττικοί, μετὰ δὲ τοῦ ς Ἕλληνες. ἀναβιῶν Ἀττικοί, ὡς Πλάτων Σκευαῖς “ἀναβιῶν ἐκ τῆς νόσου,” ἀναβιώσασθαι κοινόν. ἀροῦν Ἀττικοί, ἀροτριᾶν Ἕλληνες. ἀείνων Ἀττικοί, ἀένναον Ἕλληνες. ἄπλατον Ἀττικοί, ἄπλετον Ἕλληνες. ἀκρατέστερον Ἀττικοί, ἀκρατώτερον κοινόν. ἀπολλύασιν Ἀττικοί, ἀπολλύουσιν Ἕλληνες. ἀνηλωμένα Ἀττικοί, ἀναλωμένα Ἕλληνες. ἄρρενα Ἀττικοί, ἄρσενα Ἕλληνες. ἀνασχήσεται Ἀττικοί, ἀνέξεται Ἕλληνες. ἀπόδυθι Ἀττικοί, ἀπόδυσαι Ἕλληνες. ἀνθρωπείᾳ φύσει Ἀττικοί, ὡς Θουκυδίδης, ἀνθρωπίνῃ Ἕλληνες. ἀδολέσχης Ἀττικοί, ἀδόλεσχος Ἕλληνες. Ἀθήναζε Ἀττικοί, ἐξ Ἀθηνῶν Ἕλληνες. αἰσχυντηλός Ἀττικοί, αἰσχυντηρός Ἕλληνες. ἀποκτειννύναι Ἀττικοί, ἀποκτείνειν Ἕλληνες. ἀνάθημα Ἀττικοί, ἀνάθεμα Ἕλληνες. ἀνοητίαν Ἀττικοί, ἀνοησίαν Ἕλληνες. ἀπεῖπα Ἀττικοί, ἀπεῖπον

Ἕλληνες. ἀνυπόδητος Ἀττικοί, ἀνυπόδετος Ἕλληνες. ἁλυκόν Ἀττικοί, ὡς Ἀριστοφάνης Λυσιστράτῃ, ἁλικόν κοινόν.

189 ἀνοιγνύτω Ἀττικοί, ἀνοιγέτω Ἕλληνες. ἀπέκτονεν Ἀττικοί, ἀπέκταγκεν Ἕλληνες. ἄκναπτον Ἀττικοί, ἄγναφον Ἕλληνες. ἀωρί Ἀττικοί, ἀωρίᾳ Ἕλληνες. Ἀπόλλω Ἀττικοί, Ἀπόλλωνα Ἕλληνες. ἄχρι ἄνευ τοῦ ς Ἀττικοί, ἄχρις Ἕλληνες. ἀμείνω Ἀττικοί, ἀμείνονα Ἕλληνες. ἀσταφίς Ἀττικοί, σταφίς Ἕλληνες. ἀσκαρίζειν Ἀττικοί, σκαρίζειν Ἕλληνες. αἰέλουρος Ἀττικοί, αἴλουρος Ἕλληνες. ἀρύτεσθαι Ἀττικοί, ἀρύεσθαι Ἕλληνες. ἀπέδραν Ἀττικοί, ἀπέδρων Ἕλληνες. ἄξομαι παθητικῶς Ἀττικοί, ἄξω ἐνεργητικῶς Ἕλληνες. ἀπαγέσθω παθητικῶς Ἀττικοί, ἀπαγέτω ἐνεργητικῶς Ἕλληνες. ἀδωρότατος ὁ μὴ λαμβάνων δῶρα Ἀττικοί. ᾄσεται Ἀττικοί, ᾄσει Ἕλληνες. ἀδαγμός ἀδάξασθαι Ἀττικοί, κνησμός κνήσασθαι Ἕλληνες. ἀποδιοπομπεῖσθαι Ἀττικοί, ἀποκαθαίρεσθαι κοινόν. ἀσπαλιευτής ὁ τῇ ὁρμιᾷ χρώμενος ἁλιεὺς Ἀττικοί, ὁρμιευτής Ἕλληνες. ἀνακῶς Ἀττικοί, ὡς Πλάτων ὁ κωμικὸς “καὶ τὰς θύρας ἀνακῶς ἔχειν.” [ἀντὶ τοῦ] ἀσφαλῶς ἢ φυλακτικῶς κοινόν. ἀκαρῆ Ἀττικοί, μικρόν Ἕλληνες. ἀμόργινον Ἀττικοί, λεπτὸν ὕφασμα Ἕλληνες. ἀμφορέα τὸν δίωτον στάμνον Ἀττικοί, στάμνον Ἕλληνες. ἀμφορεύς Ἀττικοί, μετρητής Ἕλληνες. ἀμφίετες Ἀττικοί· τὸ γὰρ κατ’ ἐνιαυτὸν ἀμφίετες λέγουσιν, ὡς ἀμφημερινόν τὸ καθημερινόν. τὸ δὲ κατ’ ἔτος Ἕλληνες. ἀτεχνῶς Ἀττικοί, ἁπλῶς κοινόν. αὐτοσχεδιάζειν Ἀττικοί, σχεδιάζειν Ἕλληνες. ἄθλιος Ἀττικοί, ἀτυχής Ἑλληνικὸν καὶ κοινόν. ἀπαιολᾶν Ἀττικοί, ἀποπλανᾶν Ἕλληνες. ἀμυγδάλας τὰ χλωρὰ κάρυα Ἀττικοί, κάρυα δὲ Ἕλληνες. αὐτοβοεί Ἀττικοί, ὡς Θουκυδίδης ἐν α′, παραχρῆμα Ἕλληνες. ἀκκισμός Ἀττικοί, προσποίησις Ἕλληνες.

190 ἀκέστρια Ἀττικοί, ἠπήτρια Ἕλληνες. ἀποσκλῆναι Ἀττικοί, ἀποξηρανθῆναι Ἕλληνες. ἀμηγέπη Ἀττικοί, ἁμωσγέπως Ἕλληνες. ἀπήποτε Ἀττικοί, ὅπως ποτὲ Ἕλληνες. ἁλμάδες Ἀττικοί, κολυμβάδες ἐλαῖαι Ἕλληνες. ἀλίσας Ἀττικοί, κονίσας ἢ κυλίσας Ἕλληνες. ἁλίπεδα καὶ μάλιστα τὰ πρὸς τῇ θαλάσσῃ πεδία Ἀττικοί. ἀγώγιμα καὶ φόρτον Ἀττικοί, φορτία Ἕλληνες. αἱμασιά Ἀττικοί, λιθολογία ἢ τὸ ἐκ χαλίκων συγκείμενον Ἕλληνες. ἀποφθάρηθί μου Ἀττικοί, ἀπαλλάγηθί μου Ἕλληνες. ἀμπεχόνιον Ἀττικοί, λεπτὸν ἱμάτιον Ἕλληνες. ἀποφράδες ἡμέραι Ἀττικοί, ἀπηγορευμέναι τὰς πράξεις Ἕλληνες. ἀργυραμοιβοί Ἀττικοί, κολλυβισταί Ἕλληνες. ἀργυρογνώμονες Ἀττικοί, δοκιμασταί Ἕλληνες. ἄρριχος κόφινος πυκνός, εἰς ὃν ἐνετρύγων. Ἀριστοφάνης γοῦν Ὄρνισι τὴν διαφορὰν αὐτῶν λέγει· “ἀλλ’ ὡς τάχιστα τὰς ἀρρίχους καὶ τοὺς κοφίνους ἅπαντας ἐμπίπλη πτερῶν.” κόφινος κοινόν. ἁλουργές Ἀττικοί, πορφυροῦν Ἕλληνες. ἀξιωτέρας Ἀττικοί, εὐωνοτέρας Ἕλληνες. ἀστράβη Ἀττικοί, νωτοφόρος ἡμίονος Ἕλληνες. ἀσκάντης Ἀττικοί, κράβατος Ἕλληνες. ἀσπάλαθοι Ἀττικοί, ἄκανθαι Ἕλληνες. αὐτοδίκην Ἀττικοί, αὐθέντην Ἕλληνες. ἀχανής Ἀττικοί, ἄφωνος Ἕλληνες. ἄση Ἀττικοί, ἀηδία Ἕλληνες. ἀφυπνίσαι Ἀττικοί, ἐξυπνίσαι Ἕλληνες. ἄγχειν Ἀττικοί, πνίγειν Ἕλληνες. ἀνύσας λέγε Ἀττικοί, συνελὼν λέγε Ἕλληνες. ἀμβλίσκειν Ἀττικοί, ὠμοτοκεῖν Ἕλληνες. ἀμφορεαφόρους Ἀττικοὶ τοὺς μισθοῦ τὰ κεράμια φέροντας. ἀναρριχᾶσθαι Ἀττικοί, προβαίνειν ἀνέρπων Ἕλληνες. ἀμφιμάσχαλος χιτών Ἀττικοί, χειριδωτός Ἕλληνες. ἀνακραγεῖν Ἀττικοί, ἀναφωνῆσαι Ἕλληνες. ἀπάτη ἡ πλάνη παρ’ Ἀττικοῖς, ἀπάτη ἡ τέρψις παρ’ Ἕλλησιν.

191 ἀκαλήφη Ἀττικοί, κνίδη Ἕλληνες. ἄκουσμα Ἀττικοί, ἀκρόαμα Ἕλληνες. ἀθλοθέτης Ἀττικοί, ἀγωνοθέτης Ἕλληνες. ἄρτι οἱ μὲν Ἀττικοὶ τὸ πρὸ ὀλίγου, οἱ δὲ Ἕλληνες καὶ ἐπὶ τοῦ νῦν λέγουσιν. ἅλμην τὸν τῶν ἰχθύων ζωμὸν Ἀττικοί. οἱ δὲ Ἕλληνες ἅλμην τὸ ἁλμυρὸν ὕδωρ. ζωμὸν δὲ ὥσπερ τῶν κρεῶν, οὕτω καὶ τῶν ἰχθύων κοινῶς λέγουσιν. ἀναθεῖναι τὸ φορτίον Ἀττικοί, ἐπιθεῖναι Ἕλληνες. ἀγοράζειν ἐκτείνοντες τὸ δεύτερον α Ἀττικοί, ἐν ἀγορᾷ διατρίβειν Ἕλληνες. ἀνιμᾶν Ἀττικοί, ἀνέλκειν Ἕλληνες. ἀνθοσμίαν Ἀττικοί, εὔπνουν Ἕλληνες. ἀγαθοῦ δαίμονος πόμα Ἀττικοί, τὴν τελευταίαν πόσιν Ἕλληνες. αἰονᾶν Ἀττικοί, καταντλεῖν Ἕλληνες.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀνεμιαῖον Ἀττικοί, ὑπηνέμιον Ἕλληνες. ἀποκναίεις Ἀττικοί, ἀναιρεῖς Ἕλληνες. ἀστεΐζεσθαι Ἀττικοί, πολιτικεύεσθαι (τουτέστιν ὡραΐζεσθαι) Ἕλληνες. Ἄνακες καὶ Ἀνάκιον Ἀττικοί, Διόσκοροι καὶ Διοσκορεῖον Ἕλληνες. ἀνακές ὀξυτόνως Ἀττικοί, ὡς καὶ Εὔπολις Αἰξίν, ἀθεράπευτον Ἕλληνες. ἀκμήν οὐδεὶς τῶν Ἀττικῶν ἀντὶ τοῦ ἔτι, ἢ μόνος Ξενοφῶν ἐν τῇ Ἀναβάσει· Ἕλληνες δὲ χρῶνται. ἀμοιβήν οὐδεὶς τῶν Ἀττικῶν ῥήτωρ· χάριν γὰρ λέγουσι τὴν ἀμοιβήν ἄμυναν· λέγει δὲ τῶν Ἀττικῶν οὐδείς. ἀπετέλεσεν Ἀττικοί, ἀπήρτισεν Ἕλληνες. ἀφηλικεστέραν τὴν πρεσβυτέραν Ἀττικοί, τὴν νεωτέραν Ἕλληνες. ἀποκήρυκτον Ἀττικοί, ἀπόρρητον Ἕλληνες. παρ' οὐδενὶ τῶν παλαιῶν. ἀπρίξ τὸ ταῖς χερσὶν ἀμφοτέραις κατασχεῖν βίᾳ Ἀττικοί. ἄμης Ἀττικοί, ἔγχυτος πλακοῦς Ἕλληνες. ἀφροντιστεῖν Ἀττικοί, ἀμεριμνεῖν Ἕλληνες. ἀμᾶν Ἀττικοί, θερίζειν Ἕλληνες. ἀνακωχή Ἀττικοί, ἀνοχή Ἕλληνες. ἀμφιδήριτον τὸν ἀγχώμαλον, ὡς Θουκυδίδης, Ἀττικοί· πάρισον Ἕλληνες. [35]

192 ἀναδάσασθαι Ἀττικοί, ἀναμερίσασθαι Ἕλληνες. ἁπληγίς Ἀττικοί, ἁπλοῦν ἱμάτιον Ἕλληνες. αὐλία θύρα Ἀττικοί, πυλών Ἕλληνες. αὐτοματίσαντες Ἀττικοὶ ἀντὶ τοῦ ἀφ' ἑαυτῶν τι πράξαντες. ἀμέμπτους οὐκ ἐκείνους τοὺς ἀξίους μέμψεως ἀλλὰ τοὺς μὴ μεμφομένους. ἀδηφάγους τριήρεις ἔλεγον τὴν Πάραλον καὶ τὴν Σαλαμινίαν διὰ τὰ εἰς αὐτὰς ἀναλώματα. ἀγκυρίσαι τὸ παλαιστρικόν. ἀρυβαλλόν. ἔστι δὲ ποτηρίου εἶδος στενόστομον. βαλανεύς παρὰ Πλάτωνι καὶ Ἀριστοφάνει Πελαργοῖς. βραδύτερον Ἀττικοί, βράδιον Ἕλληνες. βδάλλειν Ἀττικοί, ἀμέλγειν Ἕλληνες. βδύλλειν Ἀττικοί, βδεῖν Ἕλληνες. βλαβεῖμεν βλαβεῖτε βλαβεῖεν Ἀττικοί, βλαβείημεν βλαβείητε Ἕλληνες. βουβῶνας Ἀττικοί, βομβῶνας Ἕλληνες. βραγχᾶν Ἀττικοί, βραγχιᾶν Ἕλληνες. βελτίους Ἀττικοί, βελτίονες Ἕλληνες. βῶλος θηλυκῶς Ἀττικοί, ἀρσενικῶς Ἕλληνες. βιβλία διὰ τοῦ ι , ὡς Πλάτων, Ἀττικοί· βυβλία, ὡς Δημοσθένης, κοινόν. βολίτοις Ἀττικοί, βολβίτοις Ἕλληνες. β α δίζειν Ἀττικοί, βραχέως Ἕλληνες. βασίλειαν Ἀττικοί, βασίλισσαν Ἕλληνες. βαλλάντιον Ἀττικοί, μαρσίππιον Ἕλληνες. βούπαις Ἀττικοί, ἔξακμος Ἕλληνες. βασμός Ἀττικοί, βαθμός Ἕλληνες. βουλυτός ἡ ὥρα τῆς τῶν βοῶν λύσεως Ἀττικοί. βρωμᾶσθαι Ἀττικοί, ὀγκᾶσθαι Ἕλληνες. βατίς θηλυκῶς τὸ θαλάττιον Ἀττικοί, βάτος Ἕλληνες. βάτος τὸ τῆς ἀκάνθης εἶδος. ἡ βάτος θηλυκῶς Ἕλληνες. βρύκειν Ἀττικοί, βρύχειν Ἕλληνες. βήττειν Ἀττικοί, βήσσειν Ἕλληνες. βαυκαλᾶν Ἀττικοί, κατακοιμίζειν Ἕλληνες. βλάβος Ἀττικοί, βλάβη κοινόν. [35]

193 βραβεύς Ἀττικοί, βραβευτής Ἕλληνες. βεβιασμένη Ἀττικοί, ἐφθαρμένη Ἕλληνες. βαλβῖδες αἱ ἐπὶ τῶν ἀφέσεων βάσεις ἐγκεχαραγμέναι, αἷς ἐπέβαινον οἱ δρομεῖς, ἵν' ἐξ ἴσου ἵσταιντο· διὸ καὶ οἱ κήρυκες ἐπὶ τῶν τρεχόντων "βαλβῖδα ποδὸς θέτε πόδα παρὰ πόδα" καὶ νῦν ἔτι λέγουσιν. Ἀττικοί. ὕσπληξ δὲ κοινόν. βωμολόχος ὁ πρὸς τοῖς βωμοῖς λοχῶν ἐπαίτης. βόθρος Ἀττικοί, βόθυνος κοινόν. βότρυς μακρῶς Ἀττικοί, βραχέως Ἕλληνες. βρενθύεσθαι τὸ μετασυνωνοίας ἐπαίρεσθαι Ἀττικοί. βοήσεται Ἀττικοί, βοήσει Ἕλληνες. βαδιοῦμαι βαδιεῖ βαδιεῖται καὶ τὰ ὅμοια Ἀττικοί. βιάσασθαι Ἀττικοί, φθεῖραι Ἕλληνες. βλαφθέντες Ἀττικοί, βλαβέντες Ἕλληνες. γεννηταὶ καὶ τὸ πρᾶγμα καὶ τὸ ὄνομα. εἰσὶ δὲ οἱ γεννηταὶ τοιόνδε τι. ἡ πόλις ἡ τῶν Ἀθηνῶν τὸ παλαιὸν διεκεκόσμητο δίχα, εἴς τε τοὺς γεωργοὺς καὶ δημιουργούς, οὗτοι δὲ πάλιν διῄρηντο εἰς φυλὰς δʹ, αἱ δὲ φυλαὶ ἑκάστη εἰς τριττῦς, εἰς δὲ ἑκάστην τριττὺν εἰσήχθη γένη λʹ, οὐθὲν ἀφ' αἵματος ἀλλήλοις προσήκοντες ἀλλ' ἀπὸ τοῦ πολιτικοῦ γένους οὕτως κατωνομασμένοι. γέλων Ἀττικοί, γέλωτα Ἕλληνες. γίγνεται Ἀττικοί, γίνεται Ἕλληνες. γέλοιον βαρυτόνως Ἀττικοί, γελοῖον προπερισπωμένως Ἕλληνες. γενετυλλίδα τὴν μοῖραν Ἀττικοί, γένεσιν Ἕλληνες. γνωσιμαχῆσαι Ἀττικοί, ὡς Ἀριστοφάνης Ὄρνισιν, μετανοῆσαι Ἕλληνες. γρῖφοι τὰ ἐν τοῖς πότοις προβαλλόμενα ζητήματα Ἀττικοί. γραῦς πληθυντικῶς Ἀττικοί, γραίας Ἕλληνες. γλαμῶσα Ἀττικοί, λημῶσα κοινὸν ἀμφότερα. γήτη Ἀττικοί, κρόμυα Ἕλληνες. γομφίους

Ἀττικοί, μύλους Ἕλληνες. γνοῖμεν Ἀττικοί, γνοίημεν Ἕλληνες. γαλῆ Ἀττικοί, γαλέα Ἕλληνες. γόης Ἀττικοί, κόλαξ Ἑλληνικὸν καὶ κοινόν. γραψάμενος Ἀττικοί, γράψας Ἕλληνες. [35]

194 γεγωνεῖν καὶ γεγωνίσκειν, ὡς Θουκυδίδης, Ἀττικοί, βοᾶν καὶ κράζειν Ἕλληνες. γέλγη καὶ γελγοπώλης Ἀττικοί, ῥῶπος καὶ ῥωποπώλης Ἕλληνες. γηρᾶναι καὶ καταγηρᾶναι Ἀττικοί, γηρᾶσαι καὶ καταγηρᾶσαι Ἕλληνες. γηθυλλίς Ἀττικοί, ἀμπελόπρασον Ἕλληνες. γάργαλος Ἀττικοί, γαργαλισμός Ἕλληνες. γυμνάσεται Ἀττικοί, γυμνασθήσεται Ἕλληνες. γνωστῆρας, ὡς Ξενοφῶν, τοὺς γνώστας. δακρύοις Ἀττικοί, δάκρυσιν Ἕλληνες. δοίημεν δοίητε Ἀττικοί, δῴημεν δῴητε Ἕλληνες. διωκάθειν κοινὸν Δωριέων καὶ Ἰώνων, διώκειν Ἕλληνες. δεδιττόμενος Ἀττικοί, ἐκφοβῶν Ἕλληνες. διαγράφειν τὸ ἐξαλείφειν Πλάτων Πολιτείας γʹ. δρυπέπης Ἀττικοί, πέπειρος Ἕλληνες. δεδιακόνηκα Ἀττικοί, δεδηκόνηκα Ἕλληνες. δέω Ἀττικοί, δεσμῶ Ἕλληνες. δευσοποιοί Ἀττικοί, βαφεῖς κοινόν. δευσοποιὸν δὲ τὸ δυσέκπλυτον. δέκετες Ἀττικοί, δεκάετες Ἕλληνες. δεδήσεται Ἀττικοί, δεθήσεται Ἕλληνες. διαβιβῶ Ἀττικοί, διαβιβάσω Ἕλληνες. δυσωπεῖσθαι ἀντὶ τοῦ φοβεῖσθαι Ἀττικοί, ὡς καὶ Πλάτων ἐν Φαίδρῳ. χρῶνται δ’ αὐτῷ οἱ Ἕλληνες ἀντὶ τοῦ αἰδεῖσθαι. διάγνωσιν Ἰσαῖος τὴν ὑφ’ ἡμῶν διαδικασίαν. δυσήριδος καὶ δύσηρις Ἀττικοί, καὶ Πλάτων Νόμων θʹ, δύσερις Ἕλληνες. δωριάζειν τὸ παραγυμνοῦσθαί τινα μέρη. δεσμά οὐδετέρως Ἀττικοί, δεσμοί ἀρσενικῶς Ἕλληνες. δεικνῦσι προπερισπωμένως Ἀττικοί, δεικνύουσιν Ἕλληνες. δεικνύασι δὲ οἱ δεύτεροι Ἀττικοί. δρύφακτος ἡ θύρα τοῦ δικαστηρίου Ἀττικοί. διέφθορεν Ἀττικοί, διέφθαρκεν Ἕλληνες. δρεπάνη Ἀττικοί, δρέπανον Ἕλληνες. διαφορότητος Πλάτων Θεαιτήτῳ. παρ’ ἄλλῳ οὐχ εὗρον. δυσεντερία θηλυκῶς Ἀττικοί, δυσεντέριον Ἕλληνες. δημούμενον Ἀττικοί, γελοιάζοντα Ἕλληνες. διανεκεῖ λόγῳ, ὡς Πλάτων Ἱππίᾳ, Ἀττικοί, διηνεκεῖ Ἕλληνες. [35]

195 δοῦσιν Ἀττικοί, δεσμεύουσιν Ἕλληνες. δελφίς ὄργανον ἐν ναυμαχίᾳ μολιβοῦν, ὅθεν καὶ Θουκυδίδης νῆας δελφινοφόρους. δήπουθεν Ἀττικοί, δηλονότι Ἕλληνες. διῆρες Ἀττικοί, ὑπερῷον κοινόν. δόχμη Ἀττικοί, σπιθαμή Ἕλληνες. διαλέγεσθαι καὶ τὸ πλησιάζειν ταῖς γυναιξίν, ὡς Ὑπερείδης. δένδροις Ξενοφῶν, δένδρεσι Θουκυδίδης. δείλης πρωΐας τὸ μετὰ ἕκτην ὥραν, δείλης ὀψίας πρὸς ἑσπέραν. κατ’ ἰδίαν δὲ δείλης οὐ λέγουσιν Ἀττικοί. λέγεται δὲ μόνον δείλης καθ’ ἑαυτὸ παρὰ τοῖς Ἕλλησιν. δίαιτα Ἀττικοί, κρίσις πρὸ δίκης Ἕλληνες. Δημοσθένας Ἀττικοί, Δημοσθένεις τὸ ἀνάλογον Ἕλληνες. ἕλξει Ἀττικοί, ἑλκύσει Ἕλληνες. ἔχθιστος Ἀττικοί, ἐχθρότατος Ἕλληνες. εὔθυνα τρόπος κρίσεως ἀρξάντων ἢ πρεσβευσάντων. ἐνετειλάμην παρ’ οὐδενί, πλὴν ἀντὶ τοῦ ν τὸ π ὁ γραφεὺς ἔγραψεν· ἐπετέλλετο γὰρ ἀέθλους Ὅμηρος λέγει. ἐρρύπηνα ἐκάθηρα Ἀττικοί, ἐρρύπανα ἐκάθαρα λέγουσιν Ἕλληνες. εὐκταῖον ἑνικῶς παρ’ οὐδενὶ τῶν παλαιῶν εἰ μὴ παρὰ Πλάτωνι ἐν Νόμοις. εὐσχολῶ οὐδεὶς τῶν παλαιῶν, ἀλλὰ σχολὴν ἄγω. εἶεν Ἀττικοί, ἄγε δή Ἕλληνες. ἐγχυτρισμὸς ἡ τοῦ βρέφους ἔκθεσις, ἐπεὶ ἐν χύτραις ἐξετίθεντο. εὐπατρίδαι Ἀττικοί, αὐτόχθονες Ἕλληνες. εὐθύ Ἀττικοί, ἐπ’ εὐθείας Ἕλληνες. ἐπείσιον Ἀττικοί, ἐφήβαιον Ἕλληνες. ἐρρηφόροι Ἀττικοί, αἱ τὴν δρόσον φέρουσαι τῇ Ἕρσῃ, ἥτις ἦν μία τῶν Κεκροπίδων. ἐπίκληρος ἡ ἐπὶ τῇ οὐσίᾳ τρεφομένη κόρη. εὔηθες τὸ χρηστόν, ὡς Θουκυδίδης, Ἀττικοί, εὔηθες τὸ ἀνόητον Ἕλληνες. ἔκδημος Ἀττικοί, ἀπόδημος Ἕλληνες. ἐπιτροπῆς εἶναι δίκας· τὸ γὰρ κακῆς ἐπιτροπῆς ἀνόητον· ἀγαθῆς γὰρ οὐδεὶς δικάζεται. ἐξαληλιμμένον ἀντὶ τοῦ κεχρισμένον, ὡς Θουκυδίδης. [35]

196 εὐλαβεῖσθαι ἀντὶ τοῦ φυλάττεσθαι, ὡς Δημοσθένης ἐν Φιλιππικοῖς, Ἀττικοί, εὐλαβεῖσθαι ἀντὶ τοῦ φοβεῖσθαι Ἕλληνες. ἐξίλλειν Ἀττικοί, ἐξείργειν Ἕλληνες, ἐκβάλλειν κοινόν. εὐκαιρεῖν οὐδεὶς εἴρηκε τῶν παλαιῶν, Ἕλληνες δέ. ἐκρεμάννυεν Ἀττικοί, ἐκρήμνα Ἕλληνες. ἐλῶ Ἀττικοί, ἐλάσω Ἕλληνες. ἐνώτια Ἀττικοί, ἐνώδια Ἕλληνες. εἰκάθοιμεν Ἀττικοί, εἴκοιμεν Ἕλληνες. εἰσῇχεν Ἀττικοί, εἰσαγήοχεν Ἕλληνες. εἴξασιν Ἀττικοί, ἐοίκασιν Ἕλληνες. εἰκώς Ἀττικοί, ἐοικώς Ἕλληνες. ἐπιμέλου παροξυτόνως Ἀττικοί, περισπωμένως Ἕλληνες. ἐπαίσαμεν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀττικοί, ἐπαίξαμεν Ἕλληνες. ἔζην Ἀττικοί, ἔζων Ἕλληνες. ἐκληρονόμησε τῆς οὐσίας Ἀττικοί, ἐκληρονόμησε τὴν οὐσίαν Ἕλληνες. ἐπιτροπεῦσαι τὸν παῖδα Ἀττικοί, ἐπιτροπεῦσαι τοῦ παιδός Ἕλληνες. εὔμορφον παρ' οὐδενὶ εὗρον, ἀλλὰ εὐπρεπῆ. εὐμορφίαν παρὰ Πλάτωνι ἐν Νόμοις καὶ παρὰ Ξενοφῶντι, σπάνιον δέ. ἐπιτίμιον Ἀττικοί, πρόστιμον Ἕλληνες. ἐπιτεθυμμένον Ἀττικοί, ἐπιτετυφωμένον ἢ ἐπικεκαυμένον Ἕλληνες. ἑταιρίστριαι Ἀττικοί, τριβάδες Ἕλληνες. ἐθελέχθρων Ξενοφῶν Ἀπομνημονεύμασιν. εἰς τρίτην ἡμέραν Ἀττικοί, εἰς τρίτην καθ' ἑαυτὸ μόνον Ἕλληνες. εἰς Διονυσίου Ἀττικοί, πρὸς Διονύσιον Ἕλληνες. ἑτερόφθαλμον Ἀττικοί, μονόφθαλμον Ἕλληνες. ἐτετάχατο Ἀττικοί, τεταγμένοι ἦσαν Ἕλληνες. ἐμπολή τὰ φορτία Ἀττικοί, ὡς Ἀριστοφάνης "τὴν ἐμπολὴν ὅπως μὴ καὶ φέρων κατάξῃ." τὸ δὲ ἐκ τῶν φορτίων συνειλεγμένον Ἕλληνες. ἐμπολήσαντες Ἀττικοί, ὠνήσαντες Ἕλληνες. ἐπισίξας Ἀττικοί, ἐπιστίξας Ἕλληνες. ἐπῴζειν τὸ ἐπὶ τοῖς ᾠοῖς καθῆσθαι. ἐρεγμία Ἀττικοί, ἐρεγμός Ἕλληνες. [35]

197 ἐρεσχηλεῖν Ἀττικοί, διαπαίζειν Ἕλληνες. ἔγγυον Ἀττικοί, ἐγγυητήν Ἕλληνες. εὐφήμει Ἀττικοί, σίγα Ἕλληνες. εἴσεται Ἀττικοί, γνώσεται κοινόν. εἰ γάρ Ἀττικοί, εἴθε γάρ κοινόν. ἐλινύων Ἀττικοί, ἀναπαυόμενος Ἕλληνες. ἐπισκῆψαι Ἀττικοί, ἐντείλασθαι Ἕλληνες. ἐκπλήγνυσθαι ἀντὶ τοῦ ἐκπλήττεσθαι Θουκυδίδης. ἐπιπολῆς τὸ ἐπάνω Ἀττικοί. ἐπίστω Ἀττικοί, ἐπίστασο Ἕλληνες. ἐπηλυγαζόμενος Ἀττικοί, ἐπισκιαζόμενος Ἕλληνες. ἐπιτηδείους οὐχ ὥσπερ ἐν τοῖς Ὑπομνήμασιν, μόνους τοὺς ἐκ γένους προσήκοντας, ἀλλὰ καὶ τοὺς ἑταίρους, ὡς Πλάτων Φαίδωνι. ἔπιον οἴνου, οὐχὶ οἶνον, Ἀττικοί. ἔφαγον κρέως, οὐ κρέας, Ἀττικοί. εἰκοστολόγον τὸν εἰκοστώνην, ὡς Ἀριστοφάνης ἐν Βατράχοις. ἐντρίβεσθαι τὸ ὑπογράφεσθαι καὶ ψιμυθοῦσθαι Ἀττικοί. ἐξενώθησαν Ἀττικοί, ὡς Πλάτων Νόμων α', ἐξενίσθησαν καὶ ἐπεξενώθησαν Ἕλληνες. ζεύγνυμι Ἀττικοί, ζευγνύω Ἕλληνες. ζῶμα Ἀττικοί, ζῶσμα Ἕλληνες. ζηλῶ Ἀττικοί, ζηλοτυπῶ Ἕλληνες. ζήλωσις Ἀττικοί, μίμησις Ἕλληνες. ζηλῶ Ἀττικοί, μακαρίζω Ἕλληνες. ζωνίον τὸ γυναικεῖον Ἀττικοί, ζώνη ἡ τοῦ ἀνδρός. ζωπυρεῖν Ἀττικοί, ἐξάπτειν Ἕλληνες. ζευγνῦσιν Ἀττικοὶ πληθυντικῶς καὶ προπερισπωμένως, ζευγνύουσιν Ἕλληνες. τὸ δὲ ζευγνύασιν τῆς δευτέρας Ἀτθίδος. ζώσαντες ἀντὶ τοῦ ζήσαντες Πλάτων Νόμων β'. ᾔδεισθα Ἀττικοί, ᾔδεις Ἕλληνες. ἦν Ἀττικοί, ἤμην Ἕλληνες. ᾔδη Ἀττικοί, ᾔδειν Ἕλληνες. ἦσθα Ἀττικοί, ἦς Ἕλληνες. ἤμελλον ἠβουλόμην ἠδυνάμην ηὐξάμην διὰ τοῦη · διὰ δὲ τοῦ ε Ἕλληνες. [30]

198 ἤρεσέ με Ἀττικοί, ἤρεσέ μοι κοινόν. ἠχή Ἀττικοί, ἦχος Ἕλληνες. ἠνέσχετο Ἀττικοί, ἀνέσχετο Ἕλληνες. ἥρω χωρὶς τοῦ ι Ἀττικοί, ὡς Ὅμηρος "ἥρω Δημοδόκῳ," ἥρωϊ μετὰ τοῦ ι Ἕλληνες. ἧττω Ἀττικοί, ἥσσονα κοινόν. ἡδῦναι Ἀττικοί, ἀρτῦσαι Ἕλληνες. ἤνυστρα Ἀττικοί, χορδαὶ ἢ αἱ κοιλίαι τῶν βοῶν Ἕλληνες. ἥλω καὶ ἑάλω Ἀττικοί, ἐλήφθη Ἕλληνες. ἦτρον τὸν ὑπὸ τῷ ὀμφαλῷ τόπον Ἀττικοί, ὑπογάστριον Ἕλληνες. ἡμεδαπός Ἀττικοί, ἐπιχώριος Ἕλληνες. ἥνυσα δασέως Ἀττικοί, ψιλῶς δὲ Ἕλληνες. ἡμωδίαν ἐπὶ τῶν ὀδόντων διὰ τοῦ η Ἀττικοί, αἱμωδίαν Ἕλληνες. ἠλίθιον Ἀττικοί, εἰκαῖον ἀνόητον Ἕλληνες. ἡβᾶν Ἀττικοί, ἀκμάζειν Ἕλληνες. ἡβάσκειν δὲ ἐπὶ τῶν παίδων τῶν ἀρχομένων ἡβᾶν ὡς ἐπὶ τὸ πλεῖστον Ἀττικοί. ᾔκασα Ἀττικοί, εἴκασα Ἕλληνες. ἡρπάσθη Ἀττικοί, ἡρπάγη Ἕλληνες. ἠδύνω ἠπίστω Ἀττικοί, ἐδύνασο ἐπίστασο Ἕλληνες. ἠπίαλον τὸ πρὸ τοῦ πυρετοῦ ψῦχος. θαμά Ἀττικοί, πυκνῶς Ἕλληνες. θαμινά Ἀττικοί, πυκνά Ἕλληνες. θερόμενος Ἀττικοί, θερμαινόμενος Ἕλληνες. Θαλῆς περισπωμένως Ἀττικοί, βαρυτόνως Ἕλληνες. Θαλοῦ τὴν γενικὴν Ἀττικοί, Θάλητος Ἕλληνες. θοίνη Ἀττικοί, θοῖνα Ἕλληνες. θηράσεται Ἀττικοί, θηράσει Ἕλληνες. θοιμάτιον Ἀττικοί, τὸ ἱμάτιον Ἕλληνες. θεωροὶ οἱ τὰς θυσίας ἀπάγοντες εἰς τὰ κοινὰ ἱερὰ καὶ τὰ μαντεῖα Ἀττικοί, θεαταὶ ἢ συνθῦται Ἕλληνες. θύραζε Ἀττικοί, ἔξω Ἕλληνες. θεμέλια καὶ θεμέλιον οὐδετέρως Ἀττικοί. θρυαλλίδα Ἀττικοί, ἐλλύχνιον Ἕλληνες. [30]

199

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ Ἡρόδοτος κέχρηται. θιασῶται διὰ τοῦ ω Ἀττικοί, θιασῖται Ἕλληνες. θράττει Ἀττικοί, ταράσσει Ἕλληνες. θρεκτικός Ἀττικοί, τροχαστικός Ἕλληνες. θαυμάσιον Ἀττικοί, θαυμαστόν Ἕλληνες. Θηρίκλειον ἀπὸ τοῦ τεχνίτου προσηγορεύθη, ὡς Εὔβουλος “καθαρώτερον γὰρ τὸν κέραμον εἰργαζόμην ἢ Θηρικλῆς τἀκπώματα.” θάρρος Ἀττικοί, θάρσος Ἕλληνες. θηλάστριαν τὴν τῶν τροφῶν τῶν παίδων τὴν θηλήν. θωμόν Ἀττικοί, ὡς Ἀριστοφάνης Βαβυλωνίοις, θημῶνα Ἕλληνες. ἰάλεμος Ἀττικοί. σημαίνει δὲ τὸν θρῆνον καὶ τὸν ψυχρὸν ἄνθρωπον. ἶκταρ. Πλάτων Πολιτείᾳ “οὐδὲ ἶκταρ,” ὅπερ ἐστὶν οὐδὲ ἐγγὺς ἢ βραχέα. ἱερεία μακρῶς τὴν τελευταίαν καὶ ὀξυτόνως τὴν παραλήγουσαν Ἀττικοί, ἱέρεια βραχέως τὴν ἐσχάτην καὶ βαρυτόνως τὴν παρατέλευτον Ἕλληνες. ἱππέα ἁλιέα βασιλέα μακρῶς Ἀττικοί. ἱερεῖον Ἀττικοί, θῦμα Ἕλληνες. ἰσχίον τὸ κοῖλον τοῦ γλουτοῦ, ἐν ᾧ ἡ κοτύλη στρέφεται, Ἀττικοί. οἱ δὲ Ἕλληνες τὰ νῶτα ἰσχία. ἴσθμιον Ἀττικοί, περιστόμιον ἢ φρεάτιον Ἕλληνες. ἱμονιάν Ἀττικοὶ λέγουσι καὶ τὸ καλώδιον. ἰλιγγιᾶν ἀντὶ τοῦ στροβοῦσθαι ἢ περιφέρεσθαι Ἕλληνες. ἴσχειν Ἀττικοί, ἔχειν Ἕλληνες. ἰάλεμον τὸν ἔκλυτον Ἕλληνες. ἰσοτελής ὁ ξένος ὁ μετέχων τῶν νόμων καὶ τῶν πραττομένων πάντων πλὴν ἀρχῆς. μέτοχος Ἕλληνες. ἰσότης ὡς ἀρότης Ἀττικοί, ἰσοτής ὡς βραβευτής Ἕλληνες. ἱδρῶ Ἀττικοί, ἱδρῶτα Ἕλληνες. ἰδιόξενος ὁ μὴ δημοσίᾳ προσκείμενος πόλεώς τινος ἀλλ’ ἰδίᾳ ξένος. ἴτρια πλάσματα λεπτὰ σησαμῇ πεπλασμένα. λάγγανα κοινόν. ἰσηγορία Ἀττικοί, ὡς Δημοσθένης ἐν τῷ κατὰ Μειδίου, ἰσολογία Ἕλληνες. ἱστάναι Ἀττικοί, ἱστάνειν Ἕλληνες. [35]

200 ἱππέας μακρῶς Ἀττικοί, βραχέως Ἕλληνες. ἱερεῖον πᾶν τὸ θυόμενον θεοῖς χωρὶς ὑός. ἰλυσπώμενος Ἀττικοί, εἰλούμενος Ἕλληνες. ἰλλόν Ἀττικοί, στραβόν Ἕλληνες. ἴσασιν Ἀττικοί, οἴδασι κοινόν. κνησίειν Ἀττικοί, κνηστικῶς ἔχειν Ἕλληνες. κομψοὺς Πλάτων οὐ τοὺς πανούργους ἀλλὰ τοὺς βελτίστους· κομψοὺς γὰρ τοὺς Ἀσκληπιάδας ἐπαινῶν λέγει Πολιτείας γʹ. καταπτόμενος Ἀττικοί, καταπτάς Ἕλληνες. κακκάβη Ἀττικοί, κάκκαβος Ἕλληνες. κέρασον τὸ φυτὸν Ἀττικοί, κερασυα μακρῶς Ἕλληνες. κάταντες τὴν πρώτην ὀξυτόνως Ἀττικοί, τὴν τελευταίαν ὀξέως Ἕλληνες. καταλεγείς Ἀττικοί, καταλεχθείς Ἕλληνες. κίρνη Ἀττικοί, κίρνα Ἕλληνες. κάλλη τὰ ἄνθη Ἀττικοί. κάλλαια τὰ ὑπὸ τὰ γένεια τῶν ἀλεκτρυόνων, οὓς κάλλωνας οἱ Ἀττικοὶ λέγουσιν. κόψιχος ἀντὶ τοῦ κόσσυφος Ἀττικοὶ καὶ Ἕλληνες. κεραία πλοίου Ἀττικοί, κέρας Ἕλληνες. κόπτει τὴν θύραν ἔξωθεν, ψοφεῖ δὲ ὁ ἔνδοθεν Ἀττικοί, κροτεῖ δὲ Ἕλληνες. κράστις διὰ τοῦ κ Ἀττικοί, γράστις διὰ τοῦ γ Ἕλληνες. κυκεῶ Ἀττικοί, κυκεῶνα Ἕλληνες. καθεδεῖ Ἀττικοί, καθίσει Ἕλληνες. καθότι Ἀττικοί, καθώς Ἕλληνες. κάχρυς Ἀττικοί, κριθαὶ πεφρυγμέναι Ἕλληνες. κακκάχην Ἀττικοί, κιχλίζην Ἕλληνες. κάταγμα Ἀττικοί, μήρυμα Ἕλληνες. καλῶ καὶ ἐπὶ τοῦ καλέσω Ἀττικοί. ἐπὶ δὲ τοῦ ἐνεστῶτος μόνων τῶν Ἑλλήνων τὸ λεγόμενον καλῶ. κατεσκέδασε τὴν ἀμίδα Ἀττικοί, κατέχεεν Ἕλληνες. καρυκεία Ἀττικοί, περίεργος ζωμός Ἕλληνες. κατακώχιμα τὰ κατεσχημένα ἐνέχυρα Ἀττικοί, κατόχιμα Ἕλληνες. κατεδήδοκεν Ἀττικοί, καταβέβρωκεν Ἕλληνες. κατιτήριον τὸν τοῦ νεκροῦ ὀβολόν. [35]

201 καλιὰ τὸ ἐκ ξύλων οἴκημα. καταγλωττίσματα τὰ περίεργα φιλήματα, καὶ καταγλωττίζειν τὸ βλασφημεῖν. κάκη, ὡς Πλάτων, Ἀττικοί, κακία Ἕλληνες. κατωνάκη. τοῖς εἰς χρόνον φεύγουσιν, ὅτε κατίοιεν, νάκους τι τοῖς ἱματίοις προσερράπτετο, ὡς καὶ Θεόπομπος “ἠναγκάσθησαν δὲ ὑπὸ τῶν τυράννων, ἵνα μὴ κατίωσιν εἰς ἄστυ, κατωνάκην φορεῖν.” κεκτῆσθαι καὶ κεκτημένη ἡ δέσποινα παρ’ Ἀττικοῖς. κεραμεοῦν Ἀττικοί, ὀστράκινον Ἕλληνες. κέοιντο μόνως Ἀττικοί. κεκλείσεται μόνως Ἀττικοί. κεκραγμός Ἀττικοί, κραυγή Ἕλληνες. κηδεστὰς καὶ τοὺς διδόντας καὶ τοὺς λαμβάνοντας τὰς κόρας Ἀττικοί, πενθεροὺς καὶ γαμβροὺς Ἕλληνες. κῆχος ἀντὶ τοῦ δή Ἀττικοί. κλισιάδες αἱ δίθυροι πύλαι Ἀττικοί, κλίσια δὲ ὅπου τὰ ζεύγη ἵστατο. κλάσαι Ἀττικοί, κλαδεῦσαι Ἕλληνες. κνέφαλον Ἀττικοί, τύλη Ἕλληνες. κνισᾶν τὸ θύειν Ἀττικοί. κυρίττειν Ἀττικοί, κερατίζειν Ἕλληνες. κλεῖν Ἀττικοί, κλεῖδα Ἕλληνες.

κλάειν καὶ κάειν σὺν τῷ α Ἀττικοί, μετὰ τοῦ ι Ἕλληνες. κέδρον οὐδετέρως Ἀττικοί, θηλυκῶς Ἕλληνες. κατέαξα τῆς κεφαλῆς Ἀττικοί, ζατέαξα τὴν κεφαλήν Ἕλληνες. κάθησο Ἀττικοί, κάθου κοινόν. κνεῖν Ἀττικοί, κνήθειν Ἕλληνες. κοροπλάθοι Ἀττικοί, κοροπλάσται Ἕλληνες. κατὰ χειρός Ἀττικοί, κατὰ χειρῶν Ἕλληνες. κοχώνη ἡ ὑπογλουτίς. κομψεία Ἀττικοί, πανουργία Ἕλληνες. κότινος Ἀττικοί, ἀγριέλαιος Ἕλληνες. κομμώτριαν Ἀττικοί, ἐμπλέκτριαν Ἕλληνες. κατεκαύθη Ἀττικοί, κατακαυθήσεται Ἕλληνες. κίβδωνες Ἀττικοί, μεταλλευταὶ λίθων Ἕλληνες. κίβδηλος οὐχ ὑγιὴς τὸν τρόπον, δοκῶν δὲ ὑγιής. [35]

202 κατόπιν Ἀττικοί, ὄπισθεν Ἕλληνες. κωμῳδοποιός Ἀττικοί, κωμῳδιοποιός Ἕλληνες. κατορώρυκται Ἀττικοί, κατώρυκται Ἕλληνες. καταγώγιον καὶ κατάγεσθαι Ἀττικοί, κατάλυμα καὶ καταλύειν Ἕλληνες. κυρβασία πῖλος Περσικός, ὡς Ἀριστοφάνης Ὄρνισιν, Ἕλληνες. κρεμάθρα Ἀττικοί, κρεμάστρα Ἕλληνες. λαμβάνειν ἀπαρεμφάτως οἱ Ἀττικοί, ὡς Ἀριστοφάνης Ὄρνισιν “ἐάν τις ἀποκτείνῃ τύραννον, τιμὰς λαμβάνειν.” τὸ δὲ λαμβανέτω Ἕλληνες. λέμμα ἀντὶ τοῦ λέπισμα Ἕλληνες, λέπος κοινόν. λαχεῖν δίκην Ἀττικοί, ἔγκλημα ἀποδόσθαι Ἕλληνες. λογοποιὸν τὸν λογογράφον οἱ Ἀττικοὶ καὶ συνήγορον διὰ τῶν λόγων. λυχνοῦχος Ἀττικοί, λαμπὰς ἢ φανός Ἕλληνες. λίσφους Ἀττικοί, ἀπύγους Ἕλληνες. λοπίδες Ἀττικοί, λεπίδες Ἕλληνες. λῆμμα διὰ δύο μ τὸ θάρσος, διὰ δὲ τοῦ ἑνὸς τὸ λαμβανόμενον. ἀδιαφόρως Ἕλληνες. λάγυνος ἀρρενικῶς Ἀττικοί, θηλυκῶς Ἕλληνες. λίτρον Ἀττικοί, νίτρον Ἕλληνες. λεχώ Ἀττικοί, λοχός Ἕλληνες. λαγῷα τὰ μέρη τοῦ λαγοῦ Ἀττικοί, λάγεια Ἕλληνες. λοῦται Ἀττικοί, λούεται Ἕλληνες. λευκὴ στάθμη ἡ μὴ κεχρισμένη μίλτῳ ἀλλ’ ἄχριστος. λυσιτέλειαν οὐδεὶς λέγει, λυσιτελὲς δὲ καὶ λυσιτελεῖν. λογίους τοὺς πολυΐστορας Ἀττικοὶ καὶ Ἡρόδοτος, λογίους τοὺς λεκτικοὺς Ἕλληνες. λάσιος ὁ παρηβηκὼς καὶ λάσιον τὸν ταῦρον ἔχων Ἀττικοί, πρόχειρος καὶ τολμηρός Ἕλληνες. λάσανον καὶ τοὺς χυτρόποδας καὶ τοὺς δίφρους, ὡς Εὔπολις Πόλεσιν “ἐμοὶ γὰρ οὐκ ἔστ’ οὐδὲ λάσανον ὅπου χέσω.” λέμφος ἡ πεπηγυῖα μύξα Ἀττικοί. λογιεῖται Ἀττικοί, λογίσεται Ἕλληνες. λευκόχρως Ἀττικοί, λευκόχρους Ἕλληνες. λαύρας καὶ τὰς ἀμάρας Ἀριστοφάνης. λαῦραι δὲ καὶ τὰ ἄμφοδα. λητουργεῖν διὰ τοῦ η Ἀττικοί, διὰ δὲ τῆς ει διφθόγγου Ἕλληνες· λήϊτον γὰρ τὸ δημόσιον. λάταγας τοὺς ψόφους τοὺς ἐκ τῶν ποτηρίων. [35]

203 λιθουργούς Θουκυδίδης, λιθοκόπους Ἀντιφῶν. μελίκρατον Ἀττικοί, οἰνόμελι ὑδρόμελι Ἕλληνες. μητροιὸν τὸν πατροιόν. μετέπεμψε Θουκυδίδης, μετεπέμψατο Δημοσθένης. μετέγγυος Ἀττικοί, μεσίτης Ἕλληνες. μύλη Ἀττικοί, μύλος Ἕλληνες. μόλυβδος Ἀττικοί, μόλυβος Ἕλληνες. μισογύνης Ἀττικοί, μισογύναιος Ἕλληνες. μᾶζαν προπερισπωμένως καὶ μακρῶς Ἀττικοί, βαρυτόνως καὶ βραχέως Ἕλληνες. μάμμην καὶ μαμμίαν τὴν μητέρα Ἀττικοί. Ἕλληνες τὴν μάμμην. μαχαιρίδες αἱ μάχαιραι τῶν κουρέων Ἀττικοί. μάχαιραι κοινόν. μονομάχης Ἀττικοί, κατὰ δὲ τὴν ἀναλογίαν μονομάχος. μάντεων τὴν πρώτην ὀξυτόνως Ἀττικοί, τὴν δευτέραν ὀξυτόνως Ἕλληνες. μέθυσον τὸν ἄνδρα, μεθύσην τὴν γυναῖκα Ἕλληνες. μασχάλη Ἀττικοί, μάλη Ἕλληνες. μειράκια τοὺς ἄρρενας Ἀττικοί, μείρακας τὰς θηλείας Ἕλληνες. μύλος ἡ τράπεζα τοῦ μύλου, ὄνος τὸ ἄνω τοῦ μύλου. Μειδίου Ἀττικοί, Μειδία τό τε ἀναλογικὸν καὶ τὸ Ἑλληνικόν. μελάγχρως Ἀττικοί, μελαγχρής Ἕλληνες. μελαίνεσθαι Ἀττικοί, βάπτεσθαι Ἕλληνες. μῶν Ἀττικοί, μὴ ἄρα Ἕλληνες. μαθητρίς Ἀττικοί, μαθήτρια Ἕλληνες. μυρρίνη Ἀττικοί, μυρσίνη Ἕλληνες. μαλάχη Ἀττικοί, μολόχη Ἕλληνες. μυσκέλενδρον Ἀττικοί, μυόχοδον Ἕλληνες. μέταυλος ἡ μέση τῆς ἀνδρωνίτιδος καὶ γυναικωνίτιδος θύρα Ἀττικοί, μέσαυλος Ἕλληνες. μεταβολεύς καὶ μεταβολεῖς Ἀττικοί, μετάβολος καὶ μετάβολοι Ἕλληνες. μανεῖται Ἀττικοί, μανήσεται Ἕλληνες. μεριμνῶν ἀντὶ τοῦ φροντίζων Ξενοφῶν. νεώς τὴν εὐθεῖαν ἑνικῶς καὶ ὀξυτόνως Ἀττικοί, ναός Ἕλληνες. νώ δυϊκῶς Ἀττικοί, ἡμεῖς Ἕλληνες. [30]

204

Eulogikon public reading copy · View original HTML at eulogikon.org

νῷν, μὴ συνεκφωνουμένου τοῦ ι , ἡμῖν. νῆες, ὡς Θουκυδίδης, Ἀττικοί, ναῦς Ἕλληνες. νεῖν καὶ νήχεσθαι Ἀττικοί, κολυμβᾶν Ἕλληνες. νῶτα καὶ τὸν νῶτον Ἀττικοί, νῶτος καὶ τοὺς νώτους Ἕλληνες. νέατον Ἀττικοί, ἔσχατον κοινόν. νέωτα Ἀττικοί, τὸ μέλλον ἔτος Ἕλληνες. ναυττιᾶν ἐν τοῖς β′ ττ Ἀττικοί, ναυσιᾶν Ἕλληνες. νυμφεύτριαν Ἀττικοί, παράνυμφον Ἕλληνες. νῆστις Ἀττικοί, νήστης Ἕλληνες. νεῖα τὰ εἰς παρασκευὴν πλοίου ξύλα. νουθέτησις Ἀττικοί, νουθεσία Ἕλληνες. νᾶπυ Ἀττικοί, σίνηπι Ἕλληνες. ξενοδόκω Ἀττικοί, ξενοδοκῶ Ἕλληνες. ξυμφώνως Ἀττικοί, συμφώνως Ἕλληνες καὶ κοινῶς. ξυνωρίς Ἀττικοί, συνωρίς Ἕλληνες. ξύμμαχοι Ἕλληνες καὶ κοινῶς. ξυρόν μακρῶς Ἀττικοί, βραχέως Ἕλληνες. ὀρθρεύει Ἀττικοί, ὀρθρίζει Ἕλληνες. ὁμόσε ἅμα ὁμόθεν τόπου δηλωτικά· τὸ μὲν γὰρ ἅμα ἐν τῷ αὐτῷ δηλοῖ, τὸ δὲ ὁμόσε εἰς τὸ αὐτό, τὸ δὲ ὁμόθεν ἐκ τοῦ αὐτοῦ. ὁμόδουλος Ἀττικοί, σύνδουλος Ἕλληνες. ὀρικὸν ζεῦγος Ἀττικοί, ἡμιονικόν Ἕλληνες. ὄψον Ἀττικοί, προσφάγημα Ἕλληνες. οἶς μονοσυλλάβως Ἀττικοί, πρόβατα Ἕλληνες. οἰστός δισυλλάβως Ἀττικοί, βέλος Ἕλληνες. ὀμοῦμαι ὀμεῖ ὀμεῖται Ἀττικοί, ὀμόσω ὀμόσει Ἕλληνες. οὐκ ἐπράττου Ἀττικοί, οὐκ ἔπραττες Ἕλληνες. ὁμιλίαν οὐ τὴν διάλεξιν μόνον ἀλλὰ καὶ τὴν συνουσίαν πρὸς γυναῖκας Ἀττικοί, λαλιὰν Ἕλληνες. ὀπύειν Ἀττικοί, συγγίνεσθαι Ἕλληνες. ὀρχηστρίς Ἀττικοί, ὀρχήστρια Ἕλληνες. ὀττεύεσθαι Ἀττικοί, κληδονίζεσθαι Ἕλληνες. ὀξίδας οἱ Ἀττικοὶ τὰ μικρὰ λαγύνια. ὀλλύασιν ὀμνύασιν Ἀττικοί, ὀλλύουσιν ὀμνύουσιν Ἕλληνες. οὐχ ἥκιστα Ἀττικοί, μάλιστα Ἕλληνες. ὀμνύναι Ἀττικοί, ὀμνύειν Ἕλληνες. [35]

205 ὀσφρόμενος Ἀττικοί, ὀσφρησάμενος Ἕλληνες. Οἰδίπουν Ἀττικοί, Οἰδίπουν καὶ Ἕλληνες. Οἰδίποδα κοινῶς. ὠλέκρανα Ἀττικοί, ἀγκῶνας καὶ πήχεις Ἕλληνες. ὀρροπύγιον Ἀττικοί, ὀρθοπύγιον Ἕλληνες. οἶσθα χωρὶς τοῦ ς Ἀττικοί, οἶδας Ἕλληνες. οἰκότριψ Ἀττικοί, οἰκοτραφής Ἕλληνες. ὀξυθύμια Ἀττικοί, καθάρσια τὰ εἰς τριόδους ἐκβαλλόμενα ἢ τὰ περικείμενα τοῖς ἀγχονιμαίοις νεκροῖς Ἕλληνες. ὀστοῦν Ἀττικοί, ὀστέον Ἕλληνες. οἶμαι καὶ οἴομαι Ἀττικοί, νομίζω Ἕλληνες. ὄρρος τὸ ἐπάνω τοῦ πρωκτοῦ. ὁσημέραι Ἀττικοί, καθ’ ἡμέραν Ἕλληνες. οἶσε Ἀττικοί, φέρε Ἑλληνικὸν καὶ κοινόν. ὄστρια διὰ τοῦ ι μακροῦ Ἀττικοί, ὄστρεα Ἕλληνες. ὄφελον ἐπὶ β′ προσώπων καὶ ἀπαρεμφάτων ἐξ ἀνάγκης ῥῆμα ἀκολουθήσει ῥήματι ἀπαρεμφάτῳ· “ὥς μ’ ὄφελ’ Ἕκτωρ κτεῖναι.” Δημοσθένης ἐν τῷ κατ’ Ἀριστογείτονος εὐκτικῶς κέχρηται. οὐκ ἀπήρκει ἀντὶ τοῦ οὐκ ἀπέχρη Ἀριστοφάνης Πολυΐδῳ. ὀρρωδεῖν Ἀττικοί, φοβεῖσθαι ἢ ἀθυμεῖν Ἕλληνες. ὀβελίας ἄρτος ὁ ἐπὶ τῶν ὀβελῶν ὠπτημένος. ὄαν καὶ ἐν τῷ ω Ἀττικοί, μηλωτήν Ἕλληνες. οἰσυπηρὸν ἔριον Ἀττικοί, ῥυπαρόν Ἕλληνες. ὀπτήρια Ἀττικοί, ἀνακαλυπτήρια Ἕλληνες. οὖς Ἀττικοί, ὠτίον Ἕλληνες. ὄφεις Ἀττικοὶ τὰ παρὰ τοῖς Ἕλλησι ψέλια. ὅρμος Ἀττικοί, περιτραχήλιος Ἕλληνες. ὀπήν Ἀττικοί, τρύπημα Ἕλληνες. ὄχλον ἐπὶ πλήθους Ἀττικοί, τὴν παρὰ τοῖς Ἕλλησι λεγομένην ὄχλησιν. ὀπός Ἀττικοί, πυτία Ἕλληνες. ὀμόρξασθαι ἐξομόρξασθαι Ἀττικοί, ἐκμάξασθαι Ἕλληνες. ὀπαία κεραμὶς δι’ ἧς ὁ καπνὸς ἔξεισιν Ἀττικοί, καπνία Ἕλληνες. πεπαύσομαι Ἀττικοί, παύσομαι Ἕλληνες. πράξομαι Ἀττικοί, πράξω Ἕλληνες. πράξεται Ἀττικοί, πράξει Ἕλληνες. [35]

206 παῖσαι Ἀττικοί, παῖξαι Ἕλληνες. πεπραγώς ἐν τῷ γ Ἀττικοί, πεπραχώς Ἕλληνες. πλέων καὶ κατάπλεων Ἀττικοί, πλήρη Ἕλληνες. πεπράσομαι πεπράσῃ πεπράσεται Ἀττικοί, πραθήσομαι πραθήσῃ πραθήσεται Ἕλληνες. πλεῖν ἢ μύριοι Ἀττικοί, πλέονες ἢ μύριοι Ἕλληνες. πλημμελεῖν Ἀττικοί, ἐξυβρίζειν Ἕλληνες. προτέλεια ἡ πρὸ τῶν γάμων ἡμέρα. περιστῷον Ἀττικοί, περίστυλον Ἕλληνες. πέποιθεν λέγουσιν Ἀττικοί, πεποίθησιν Ἕλληνες. πρόχους Ἀττικοί, κατάχυσις Ἕλληνες. παρουσίαν καὶ τὴν οὐσίαν Ἀττικοί. παροψίδα τὴν ποιὰν μᾶζαν Ἀττικοί, παροψίδα τὸ σκεῦος Ἕλληνες. παῖδα τὸν δοῦλον, κἂν ᾖ γέρων, Ἀττικοί. πρώτως καὶ πρῶτον. τὸ μὲν ποσότητος τὸ δὲ ποιότητος δηλωτικόν. παραιρέματα τῶν ἱματίων, ὡς Θουκυδίδης, Ἀττικοί. πρῷ καὶ πρωΐας καὶ ὀψέ καὶ ὀψίας. πομφόλυγας τὰ δερμάτια ἃ ἐπὶ τῶν κεφαλῶν αἱ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γυναῖκες ἔχουσιν· Ἀριστοφάνης Θεσμοφοριαζούσαις. προύτρεψεν, οὐ προετρέψατο. παρῳκισάμην, οὐ παρῳκίσθην. πλειστηριάζειν τὸ ὑπερβάλλειν τῇ τιμῇ. πύραυνος καὶ πύραυτος τὸ περιπετάμενον ζῷον τοῖς λύχνοις. προνομεύειν τὸ κατατρέχειν καὶ κατασύρειν. προσωρμίσαντο, οὐ προσώρμισαν. πρότροπος οἶνος ὁ πρὸ τοῦ πατηθῆναι τὴν σταφυλὴν ῥεύσας. πεπολέμωται ὁ εἰς ἔχθραν προαχθείς. πίτ υ ρα Ἀττικοί. πεττύκια τὰ λεπτὰ περιτμήματα τῶν δερματίων· ἀφ’ οὗ ἡμεῖς πιττάκια λέγομεν. προελόμενος Ἀττικοί, προθέμενος Ἕλληνες. πεντηκόντορος ναῦς ἀπὸ τοῦ ν′ ἔχειν ἄνδρας, ὅπερ ἦν ἀριθμὸς λόχου. ἡ δὲ τριήρης προσηγόρευται ἀπὸ τοῦ γ′ ἔχειν εἰρεσίας, δ′ μέντοι λόχους· ἡ γὰρ ἀρχαία σύνταξις διακοσίους εἶχε τοὺς ἐμπλέοντας. πλεύμων Ἀττικοί, πνεύμων Ἕλληνες. [35]

207 πειρῶν τὴν παῖδα Ἀττικοί, πειράζων διαφθείρων Ἕλληνες. πέλεθος Ἀττικοί, σπέλεθος Ἕλληνες. πάπυρος μακρῶς Ἀττικοί, βραχέως Ἕλληνες. πέτομαι ἐν τῷ ο καὶ πέτεται Ἀττικοί, πέταμαι ἐν τῷ α καὶ πέταται Ἕλληνες. πνῖγος μακρῶς Ἀττικοί, βραχέως Ἕλληνες. πλαίσιον Ἀττικοί, πλινθίον Ἕλληνες. παρασημαίνεσθαι Ἀττικοί, παρασφραγίζεσθαι Ἕλληνες. παρακαταθήκην Ἀττικοί, παραθήκην Ἕλληνες. πωλητήριον Ἀττικοί, πρατήριον Ἕλληνες. πρόσευξαι τὸν θεόν Ἀττικοί, τῷ θεῷ Ἕλληνες. Πειραιῶς Ἀττικοί, Πειραιέως μετὰ τοῦ ε Ἕλληνες. πλάνος Ἀττικοί, πλάνη Ἕλληνες. παροίξας τῆς θύρας Ἀττικοί, παρανοίξας τὴν θύραν Ἕλληνες. πάρνοπες εἶδος ἀττελέβων. τὰς καλουμένας ἀκρίδας. πόλιν τὴν ἀκρόπολιν καὶ πολιάδα Ἀττικοί, τῆς ἀκροπόλεως Ἕλληνες. ποῖ Ἀττικοί, ποῦ κοινόν. πρῶτον πρώτως Ἕλληνες. πεττεύειν Ἀττικοί, διαγραμματίζειν Ἕλληνες. πρανεύς Ἀττικοί, κατάβασις Ἕλληνες. πρόσταξις Ἀττικοί, προσταγή Ἕλληνες. πειράσαντες τοῦ χωρίου, ὡς Θουκυδίδης, ἀποπειρασθέντες Ἕλληνες. πλέων οἴνου Ἀττικοί, πλήρη οἴνου Ἕλληνες. παιδίσκην καὶ τὴν ἐλευθέραν καὶ τὴν δούλην Ἀττικοί, τὴν δούλην μόνον Ἕλληνες. πάντοτε οὐδεὶς τῶν Ἀττικῶν. παρασχήσομαι Ἀττικοί, παρέξομαι Ἕλληνες. πανοικησίᾳ Ἀττικοί, πανοικί Ἕλληνες. πόρκους οἱ Ἀττικοὶ οὓς κύρτους λέγουσιν Ἕλληνες. προστυχὴς ἐγενόμην ἀντὶ τοῦ ἐνέτυχον Πλάτων. παιδάριον καὶ τὸ θυγάτριον Ἀττικοί, παιδάριον μόνως τὸ ἄρρεν Ἕλληνες. πεντετηρίς πεντέκλινον πεντέμηνον Ἀττικοί, πενταετηρίς καὶ τἆλλα ὁμοίως Ἕλληνες. πίομαι πῖθι Ἀττικοί, πιοῦμαι πίε Ἕλληνες. [35]

208 παρασίτους τοὺς τὰ δημόσια σιτουμένους ἐν πρυτανείῳ Ἀττικοί, τοὺς κόλακας Ἕλληνες. πρόσωπα τὰ τῶν ὑποκριτῶν Ἀττικοί, προσωπεῖα Ἕλληνες. πύξ Ἀττικοί, γρόνθος Ἕλληνες. παρηγγύησεν Ἀττικοί, παρήγγειλεν Ἕλληνες. πελάτην τὸν ὑφ’ ἡμῶν ἐργολάβον. πελιτνόν ἐν τῷ τ Ἀττικοί, πέλιον ἢ πελιδνόν Ἕλληνες. ποιοίη Ἀττικοί, ποιῴη Ἕλληνες. περιδέρρεα Ἀττικοί, περιτραχήλια Ἕλληνες. πολιτεύειν καὶ πολιτεύεσθαι λέγεται, πολιτευτής οὐ λέγεται ἀλλὰ δημαγωγός παρὰ τοῖς Ἀττικοῖς. πολιτευτής Ἕλληνες. πήχεων Ἀττικοί, πηχῶν Ἕλληνες. ποτνιώμενος Ἀττικοί, δυσφορῶν Ἕλληνες. πλυνεῖς κατὰ τὴν πρώτην Ἀτθίδα, κναφεῖς κατὰ τὴν δευτέραν Ἀτθίδα. προὖπτον Ἀττικοί, προφανές Ἕλληνες. πασπάλη Ἀττικοί, κέγχρος ἢ τὸ τυχόν Ἕλληνες. πέδη Ἀττικοί, περισκελίς Ἕλληνες. πλέῳ [ἀντὶ τοῦ πλήρεις] Ἀττικοί, πλήρεις Ἕλληνες. πιαίνειν Ἀττικοί, σιτεύειν Ἕλληνες. πεπαρῴνηκεν Ἀττικοί, παροίνικεν Ἕλληνες. πομπεῖα Ἀττικοὶ τὰ θυμιατήρια καὶ τὰς χέρνιβας, ὡς Θουκυδίδης. ῥαΐσας Ἀττικοί, ὑγιάνας Ἕλληνες. ῥικνοῦσθαι τὸ ἀσχημόνως κινεῖσθαι Ἀττικοί. ῥιγῶντος Ἀττικοί, ῥιγοῦντος Ἕλληνες. ῥύπτεσθαι ῥύμμα Ἀττικοί, σμήχεσθαι σμῆγμα Ἕλληνες. ῥηγνύασιν διὰ τοῦ α Ἀττικοί, ῥηγνύουσιν ἢ ῥήσσουσιν Ἕλληνες. ῥύσιον καὶ ἐνέχυρα πληθυντικῶς Ἀττικοί, ἐνέχυρον Ἕλληνες. ῥέγκειν ἐπὶ τῶν κοιμωμένων Ἀττικοί, ῥέγχειν Ἕλληνες. ῥίνη Ἀττικοί, ῥῖνα Ἕλληνες. ῥοιά Ἀττικοί, ῥόα Ἕλληνες. ῥιγῶν Ἀττικοί, ῥιγοῦν κοινόν, ῥιγοῖν Ἕλληνες. σέες Ἀττικοί, σῆτες Ἕλληνες. σείραιον Ἀττικοί, ἕψημα Ἕλληνες. σφεῖς Ἀττικοί, αὐτοί Ἕλληνες. [35]

209

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σφῶν Ἀττικοί, αὐτῶν Ἕλληνες. σφᾶς Ἀττικοί, αὐτούς Ἕλληνες. σκιάς Ἀττικοί, ἀναδενδράς κοινόν. σοβεῖν Ἀττικοί, ἀποτρέχειν Ἕλληνες. σταθεῦσαι Ἀττικοί, στατεῦσαι Ἕλληνες. σφάκελος Ἀττικοί, σῆψις ὀστέων Ἕλληνες. στιφρόν Ἀττικοί, στριφνόν Ἕλληνες. σκορδινᾶσθαι Ἀττικοί, διατείνεσθαι Ἕλληνες. σκιραφεῖον Ἀττικοί, κυβευτήριον Ἕλληνες. σιγηλός ἐν τῷ λ Ἀττικοί, ἐν τῷ ρ Ἕλληνες. στῖμις Ἀττικοί, στῖμι Ἕλληνες. σμινύη Ἀττικοί, σκαφεῖον ἀξινοπλατειαν. σεισάχθειαν Ἀττικοί, χρεῶν ἀποκοπήν Ἕλληνες. σίαλον ἐν τῷ α καὶ οὐδετέρως Ἀττικοί, σίελον ἐν τῷ ε καὶ ἀρσενικῶς Ἕλληνες. σπάδων κοινόν, εὐνοῦχος Ἕλληνες. σᾶ περισπωμένως Ἀττικοὶ τὰ σῶα. σωδάριον Ἕρμιππος τὸ ὑφ’ ἡμῶν σουδάριον. συρμαίαν Ἀττικοὶ τὰ λεπτὰ λάχανα. συγγενήσεσιν ἀντὶ τοῦ συνουσίαις Πλάτων Νόμοις. παρ’ ἄλλῳ οὐχ εὗρον. σήσαμα καὶ ὁ καρπὸς καὶ ὁ τόπος οὗ ἐπωλεῖτο. σαπρὸν τὸν παλαιὸν οἶνον Ἀττικοί. σκυτοτόμον Ἀττικοί, σκυτέα Ἕλληνες. σαλπικτής Ἀττικοί, σαλπιστής Ἕλληνες. σάκος Ἀττικοί, σάκκος διὰ δύο κκ Ἕλληνες. σκίμπους Ἀττικοί, κράβατος Ἕλληνες. σκότος οὐδετέρως Ἀττικοί, σκοτία Ἕλληνες. σμώμενος Ἀττικοί, σμηχόμενος Ἕλληνες. συβωτεῖν Ἀττικοί, ὑοβοσκεῖν Ἕλληνες. σαίρειν Ἀττικοί, σαροῦν Ἕλληνες. σμικρόν Ἀττικοί, μικρόν κοινόν. σφαδάζειν Ἀττικοί, δυσθανατᾶν Ἕλληνες. στέμφυλα Ἀττικοί, στρέμφυλα Ἕλληνες. στύρακα θηλυκῶς Ἀττικοί, ἀρσενικῶς Ἕλληνες. [35]

210 σκευωρία καὶ σκευωρήματα Ἀττικοί, συσκευή Ἕλληνες. συνέριθοι Ἀττικοί, συνυφαίνουσαι Ἕλληνες. στρωματόδεσμος Ἀττικοί, στρωματεύς Ἕλληνες. στασιώτης Ἀττικοί, στασιαστής Ἕλληνες. στερίφη Ἀττικοί, στερρά Ἕλληνες. σκιμαλίσαι Ἀττικοί, καταδακτυλίσαι Ἕλληνες. σιτίζειν τὸ παιδίον Ἀττικοί, ψωμίζειν Ἕλληνες. σχινδαλμός ἐν τῷ χ Ἀττικοί, σκινδαλμός Ἕλληνες. ταινία Ἀττικοί, στηθοδεσμίς Ἕλληνες. τευτλίον Ἀττικοί, σεῦτλον Ἕλληνες. τάγηνον Ἀττικοί, τήγανον Ἕλληνες. τιμώρια Ἀττικοί, παροξυτόνως Ἕλληνες. τήμερον εἶναι Ἀττικοί, ὡς Νεφέλαις “κεχόρευται γὰρ μετρίως ἡμῖν τοῦ τήμερον εἶναι.” τὸ σήμερον ἔχον Ἕλληνες. τήμερον Ἀττικοί, σήμερον Ἕλληνες. τάχιον οὐ λέγεται παρ’ Ἀττικοῖς ἀλλὰ θᾶττον. τερθρεία Ἀττικοί, τερατεία Ἕλληνες. τειχίον τὸ τῆς οἰκίας Ἀττικοί, τεῖχος τὸ τῆς πόλεως Ἕλληνες. τετρεμαίνειν Ἀττικοί, τρέμειν Ἕλληνες. τριχίδες Ἀττικοί, τριχέαι Ἕλληνες. τέρα Ἀττικοί, τέρατα Ἕλληνες. τυφῶ Ἀττικοί, τυφῶνα Ἕλληνες. τωθάζειν Ἀττικοί, σκώπτειν Ἕλληνες. τιμήσεται Ἀττικοί, τιμηθήσεται Ἕλληνες. τέως Ἀττικοί, ἕως ἢ μέχρι Ἕλληνες. ταὐτόν Ἀττικοί, τὸ αὐτό Ἕλληνες. τίνι κηδεύομεν Ἀττικοί, παρὰ τίνος γυναῖκα λαμβάνομεν Ἕλληνες. τάριχος οὐδετέρως Ἀττικοί, ἀρσενικῶς Ἕλληνες. τελευταῖον μόνως. τελευταιότατον οὐδεὶς τῶν παλαιῶν. τριπλᾶ τετραπλᾶ περισπωμένως καὶ μακρῶς Ἀττικοί, βραχέως Ἕλληνες. τέρα καὶ τερῶν Ἀττικοί, τέρατα τεράτων Ἕλληνες. τροφαλίς Ἀττικοί, τυραπάλη Ἕλληνες. τεῦχος τὸ ἀγγεῖον Ἀττικοί, τὸ δὲ βιβλίον λέγουσιν Ἕλληνες. Τρωάς Ἀττικοί, Τρωάδας Ἕλληνες. τραυλίζειν Ἀττικοί, ψελλίζειν Ἕλληνες. [35]

211 ταμίαν τὸν κατ’ ἀγροὺς οἰκονόμον καὶ ἐπίτροπον Ἀττικοί, οἰκονόμον Ἕλληνες. τῖφυν Ἀττικοί, ἐφιάλτην ἢ ἐπιάλτην Ἕλληνες. τυπτήσειν Ἀττικοί, παίσειν Ἕλληνες. τροπίαν καὶ ἐντροπίαν Ἕλληνες. ὕαλος ἐν τῷ α Ἀττικοί, ἐν τῷ ε Ἕλληνες. ὑπόστρωμα Ἀττικοί, περίστρωμα Ἕλληνες. ὑγιᾶ Ἀττικοί, ὑγιῆ Ἕλληνες. ὑφηναμένη Ἀττικοί, ὑφάνασα Ἕλληνες. ὕσπληξ θηλυκῶς Ἀττικοί, ἀρσενικῶς Ἕλληνες. ὑπνομαχεῖν Ξενοφῶν Παιδείας γʹ μόνος. ὕδερος καὶ ὑδρᾶν Ἀττικοί, ὕδρωψ καὶ ὑδρωπιᾶν Ἕλληνες. ὑπόγυιον δεῖ τάττειν ἐπὶ τοῦ μέλλοντος, οὐκ ἐπὶ τοῦ παρεληλυθότος. σημαίνει δὲ ἑκάτερον πρόσφατον. ὑδαρές βραχέως τὸ α Ἀττικοί, μακρῶς Ἕλληνες. ὑϊδοῦς ὑϊδῆ Ἀττικοί, υἱωνός υἱωνή Ἕλληνες. ὑγίεια Ἀττικοί, ὑγεῖα Ἕλληνες. ὑδροπωτεῖν ἐν τῷ ω Ἀττικοί, ἐν τῷ ο Ἕλληνες. ὑποκορίζεσθαι Ἀττικοί, ἐπικορίζεσθαι Ἕλληνες. ὑδρορόη Ἀττικοί, ὑδροχόα Ἕλληνες. φαυλίας ἐλαίας τὰς ἐκ κοτίνου μεταπεφυτευμένας ἐλαίας. φιλεῖ “ὅπερ φιλεῖ γίνεσθαι” Ἀττικοί. φακήν ἑνικῶς καὶ θηλυκῶς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἕλληνες, φακούς πληθυντικῶς Ἀττικοί. φροίμιον Ἀττικοί, προοίμιον Ἕλληνες. φροῦδος Ἀττικοί, ἄφαντος ἀφανής Ἕλληνες. φενακίζειν Ἀττικοί, ἐξαπατᾶν Ἕλληνες. φέναξ Ἀττικοί, ἐξαπατῶν Ἕλληνες. φλήναφος Ἀττικοί, μωρολόγος Ἕλληνες. φυστῆ περισπωμένως τὸ φύραμα τῶν ἀλφίτων, ὅταν μὴ γένηται μᾶζα. φύραμα δὲ Ἕλληνες. φαῦλον καὶ φλαῦρον Ἀριστοφάνης ἀμφότερα κατὰ τοῦ αὐτοῦ σημαινομένου. τὸ δὲ φαῦλον σημαίνει τὸ κακόν. φιλόγελω Ἀττικοί, φιλογέλωτος Ἕλληνες. φθοῖς Ἀττικοὶ μονοσυλλάβως· ἔστι δὲ πέμμα πλατὺ ἔχον ὀμφαλόν. [30]

212 πόπανον Ἕλληνες. φειδωλοί Ἀττικοί, σκνιφοί κοινόν. φιάλη Ἀττικοὶ διὰ τοῦα · διὰ τοῦ ε Ἕλληνες. φθορέα καὶ ἐφθαρμένην οὐδεὶς τῶν παλαιῶν, ἀλλὰ τὸν βιασάμενον καὶ βεβιασμένην. φθορεύς δὲ καὶ ἐφθαρμένη Ἕλληνες. φιλογύνης Ἀττικοί, φιλογύναιος Ἕλληνες. φλυαρεῖς ἔχων. ἡ προσθήκη τοῦ ἔχων Ἀττική. φάτνη Ἀττικοί, πάθνη Ἕλληνες. φλᾶν Ἀττικοί, θλᾶν ἢ προσαναθλίβεσθαι Ἕλληνες. φάθι Ἀττικοί, εἰπέ Ἕλληνες. φθεῖρες ἀρρενικῶς Ἀττικοί, θηλυκῶς Ἕλληνες. φιδάκνη Ἀττικοὶ πίθος μέγας καὶ σύστομος. φάκελον Ἀττικοί, φορτίον ἐκκαυμάτων Ἕλληνες. φθείρου Ἀττικοί, ἀπαλλάσσου Ἕλληνες. φθῶσιν Ἀττικοί, φθάσωσιν Ἕλληνες. Φερέφαττα Ἀττικοί, Φερσεφόνη Ἕλληνες. φαυλίζειν Ἀττικοί, κατευτελίζειν Ἕλληνες. φεψαλοὺς τοὺς σπινθῆρας Ἀττικοί. φύσιγγας τὰ ἐν ταῖς κνήμαις ἐκκαύματα Ἀττικοί. φοινικίς ἔνδυμα Λακωνικόν, ὁπότε εἰς πόλεμον ἴοιεν, διὰ τὸ ὁμοχροεῖν τῷ αἵματι. Ἀριστοτέλης ἐν πολιτείᾳ λέγει. φάρμακα τὰ χρώματα τῶν ζωγράφων Ἀττικοί. φθόην τὴν φθίσιν Ἀττικοί. φοιτητὴν τὸν μαθητὴν Ἀττικοί. φονέα Ἀττικοί, ἀνδροφόνον Ἕλληνες. χοάνην Ἀττικοί, χώνην Ἕλληνες. χέρσον οὐδετέρως Ἀττικοί, θηλυκῶς Ἕλληνες. χαλκοῦς χαλκῆ ἀδιαιρέτως Ἀττικοί, χάλκεος χαλκέα Ἕλληνες. χρυσοῦς καὶ χρυσῆ Ἀττικοί, χρύσεος καὶ χρυσέα Ἕλληνες. χρῆται Ἀττικοί, χρᾶται Ἕλληνες. χθές καὶ χθιζόν Ἀττικοί, ἐχθές καὶ ἐχθεσινόν Ἕλληνες. χρέως Ἀττικοί, χρέος Ἕλληνες. χαιρήσεις Ἀττικοί, χαρήσεις Ἕλληνες. χλωρὸν τυρόν Ἀττικοί, ἁπαλὸν δὲ Ἕλληνες. χηνοβόσια Ἀττικοί, χηνοβόσκια Ἕλληνες. χανδὸν πιεῖν Ἀττικοί, κεχηνότως καὶ ἀθρόως Ἕλληνες. [35]

213 χολάδας οἱ πρῶτοι Ἀττικοί, χόλικας θηλυκῶς οἱ μέσοι· "χολικας ἑφθάς." τοὺς χόλικας ἀρσενικῶς Ἕλληνες. χολήν ἀντὶ τοῦ μανίαν Ἀττικοί. χλεύην Ἀττικοί, γέλωτα Ἕλληνες. χερσιμαχίας Πλάτων Νόμων α′. χλιδή Ἀττικοί, τρυφή Ἕλληνες. χαμεύνιον Ἀττικοί, ψίαθος Ἕλληνες. χλαῖνα Ἀττικοί, ἱμάτιον χειμερινόν Ἕλληνες. χρήστης ποτὲ μὲν ὁ δεδανεισμένος ποτὲ δὲ ὁ δεδανεικώς. χοανεῦσαι Ἀττικοί, χωνεῦσαι Ἕλληνες. χαμᾶθεν Ἀττικοί, χαμόθεν Ἕλληνες. χάραξ ἡ μὲν πρὸς ταῖς ἀμπέλοις θηλυκῶς, ὁ δ’ ἐν τοῖς στρατοπέδοις ἀρρενικῶς. χρήματα καὶ τὰ πράγματα καὶ τὰ ἀργύρια λέγουσιν, μόνως δὲ τὰ πράγματα χρήματα Ἀττικοί. χοῦν Ἀττικοί, χωννύειν Ἕλληνες. χόα τὸ μέτρον Ἀττικοί, χοῦν Ἕλληνες. χρυσίδα τὴν χρυσῆν φιάλην Ἀττικοί. χαλκῆν χρυσῆν Ἀττικοί, διαλελυμένως δὲ Ἕλληνες. χέρνιβον τὸ ὕδωρ ᾧ νιπτόμεθα καὶ χέρνιβα Ἀττικοί. χέρνιβον δὲ τὸ ἀγγεῖον Ἕλληνες. χάριν Ἀττικοί, χάριτα Ἕλληνες. χρεῖος Ἀττικοί, ἐνδεής Ἕλληνες. χρεών χρείη χρῆναι χρήσθων πάντα Ἀττικοί. χαμαιτύπη Ἀττικοί, πόρνη ἡ ἄδοξος Ἕλληνες. χιτωνίσκος χιτών Ἀττικοί, ὑποδύτην καὶ ἐπενδύτην Ἕλληνες. χάριν σοι ἔχω ἀντὶ τοῦ οἶδα Πλάτων Πρωταγόρᾳ. Χαλεστραία λίμνη πρὸς τῇ Μακεδονίᾳ, ἐν ᾧ τὸ Χαλεστραῖον νίτρον, οὗ μέμνηται Πλάτων. χαίρειν ἐν ἐπιστολῇ πρῶτος λέγεται γράψαι Κλέων Ἀθηναίοις μετὰ τὸ λαβεῖν τὴν Πύλον. ἔνθεν καὶ τὸν κωμικὸν ἐπισκώπτοντα εἰπεῖν "πρώτως γὰρ ἡμᾶς ὦ Κλέων χαίρειν προσεῖπας πολλὰ λυπῶν τὴν πόλιν." ψίαθος ἐν τῷ α Ἀττικοί, διὰ τοῦ ε Ἕλληνες. ψύλλα θηλυκῶς Ἀττικοί, ἀρσενικῶς Ἕλληνες. ψιμύθιον διὰ τοῦ υ καὶ μακρῶς Ἀττικοί. [35]

214 ψίλαξ Ἀριστοφάνης, ψιλὸς καὶ λεῖος Ἕλληνες. ψακάς Ἀττικοί, ψεκάς Ἕλληνες. ψώραν Ἀττικοί, ψωρίαν Ἕλληνες. ψάμμος Ἀττικοί, ἄμμος Ἕλληνες. ψάλια ἐν τῷ α Ἀττικοί, διὰ τοῦ ε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἕλληνες. ψυχῆναι Ἀττικοί, ψυγῆναι Ἕλληνες. ψαθάλλειν Ἀττικοί, ψηλαφᾶν Ἕλληνες. ψεδνός Ἀττικοί, ἀραιόθριξ Ἕλληνες. ψυκτῆρα Πλάτων Συμποσίῳ. ἔστι δὲ ὁ ψυκτὴρ σκεῦος ἐν ᾧ διανίζουσι τὰ ποτήρια, μεστὸν ὕδατος ψυχροῦ, ἢ ὃ λέγομεν ἡμεῖς πρόχυμα. ψελλίζεσθαι Ἀττικοί, ψελλίζειν Ἕλληνες. ὠτᾶν Ἀττικοί, ὦ σύ Ἕλληνες. ᾠδηκώς Ἀττικοί, οἰδηκώς Ἕλληνες. ὤνιος Ἀττικοί, πράσιμος Ἕλληνες. ὠστισμός ὠθισμός Ἀττικοί, ὠσμός Ἕλληνες. ὤνησο Ἀττικοί, ὠφέλησο Ἕλληνες. ὥρα ἔτους Ἀττικοί, καιρὸς ἔτους Ἕλληνες. ὦχρος ἀρρενικῶς καὶ βαρυτόνως Ἀττικοί, ὠχρίασις Ἕλληνες. ὠρακιᾶν Ἀττικοί, λειποψυχεῖν Ἕλληνες. ὡς αὕτως ἀντὶ τοῦ παραπλησίως καὶ κατὰ ταυτὰ Πλάτων Ἱππίᾳ β′. ὤμνυον Ἕλληνες. ὡραία γάμων Ἀττικοί, ἐν ἀκμῇ γάμου Ἕλληνες. ὡς ἔοικεν Ἀττικοί, ὡς φαίνεται Ἕλληνες. ὤφειλε δίκην λέγουσιν ἀντὶ τοῦ ἡττήθη δίκην καὶ ἡττηθεὶς τὸ ἐκ τῆς καταδίκης ἐπιτίμιον ὤφειλεν. ὡς οἷόν τε Ἀττικοί, ὡς δυνατόν Ἕλληνες. ὧδε κοινὸν Ἰώνων Ἀττικῶν, οὕτως Ἕλληνες. [25]

Eulogikon public reading copy · View original HTML at eulogikon.org